Α' Χαιρετισμοί



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/185/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: 27/3/2011 4:08:00 πμ
Δημιουργία εγγράφου: 21/11/2026 17:21:46

Σύνοψη

Τύπος εορτής: Εορτάζει 44 ημέρες πριν το Άγιο Πάσχα.

Ημ/νια Βίου: 27/3/2011 4:08:00 πμ

Βιογραφία

Πληροφορίες για τον Ακάθιστο Ύμνο βλέπε εδώ.

Ακάθιστος Ύμνος - Α' Στάσις

Ἄγγελος πρωτοστάτης,

οὐρανόθεν ἐπέμφθη,

εἰπεῖν τῇ Θεοτόκω τὸ Χαῖρε·

καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ,

σωματούμενόν σε θεωρῶν, Κύριε,

ἐξίστατο καὶ ἵστατο,

κραυγάζων πρὸς Αὐτὴν τοιαῦτα·

Χαῖρε, δ' ἧς ἡ χαρὰ ἐκλάμψει,

χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.

Χαῖρε, τοῦ πεσόντος Ἀδάμ ἡ ἀνάκλησις,

χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.

Χαῖρε, ὕψος δυσανάβατον ἀθρωπίνοις λογισμοῖς,

χαῖρε, βάθος δυσθεώρητον καὶ ἀγγέλων ὀφθαλμοῖς.

Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα,

χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.

Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον,

χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.

Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις,

χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ Ἁγία,

ἑαυτήν ἐν ἀγνείᾳ,

φησὶ τῷ Γαβριὴλ θαρσαλέως·

τὸ παράδοξόν σου τῆς φωνῆς,

δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται·

ἀσπόρου γὰρ συλλήψεως,

τὴν κύησιν πὼς λέγεις κράζων·

Ἀλληλούια.

Γνῶσιν ἄγνωστον γνῶναι,

ἡ Παρθένος ζητοῦσα,

ἐβόησε πρὸς τὸν λειτουργοῦντα·

ἐκ λαγόνων ἀγνῶν,

υἱὸν πῶς ἔσται τεχθῆναι δυνατόν;

λέξον μοι.

Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ,

πλὴν κραυγάζων οὕτω·

Χαῖρε, βουλῆς ἀπορρήτου μύστις,

χαῖρε, σιγῆς δεομένων πίστις.

Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον,

χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον.

Χαῖρε, κλῖμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός,

χαῖρε, γέφυρα μετάγουσα ἀπὸ γῆς πρὸς οὐρανόν.

Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα,

χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα.

Χαῖρε, τὸ φῶς ἀρρήτως γεννήσασα,

χαῖρε, τὸ πῶς μηδένα διδάξασα.

Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν,

Χαῖρε, πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε, Νύμφη Ἀνύμφευτε.

Δύναμις τοῦ Ὑψίστου,

ἐπεσκίασε τότε,

πρὸς σύλληψιν τῇ Ἀπειρογάμῳ·

καὶ τὴν εὔκαρπον ταύτης νηδύν,

ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι,

τοῖς θέλουσι θερίζειν σωτηρίαν,

ἐν τῷ ψάλλειν οὕτως·

Ἀλληλούια.

Ἔχουσα θεοδόχον,

ἡ Παρθένος τὴν μήτραν,

ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ.

Τὸ δὲ βρέφος ἐκείνης εὐθὺς ἐπιγνόν,

τὸν ταύτης ἀσπασμὸν ἔχαιρε,

καὶ ἅλμασιν ὡς ἄσμασιν,

ἐβόα πρὸς τὴν Θεοτόκον·

Χαῖρε, βλαστοῦ ἀμάραντου κλῆμα,

χαῖρε, καρποῦ ἀκήρατου κτῆμα.

Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον,

χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα,

Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν,

χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν.

Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις,

χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις.

Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα,

χαῖρε, παντός τοῦ κόσμου ἐξίλασμα.

Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία,

χαῖρε, θνητῶν πρὸς Θεὸν παρρησία.

Χαῖρε, Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων,

λογισμῶν ἀμφιβόλων,

ὁ σώφρων Ἰωσὴφ ἐταράχθη·

πρὸς τὴν ἄγαμόν σὲ θεωρῶν,

καὶ κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε·

μαθὼν δέ σου τὴν σύλληψιν,

ἐκ Πνεύματος Ἁγίου,

ἔφη·

Ἀλληλούια.

Αγιογραφίες / Φωτογραφίες



Ἄγγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη....



Βλέπουσα ἡ Ἁγία, ἑαυτήν ἐν ἁγνείᾳ....



Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα....



Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε.... / Ἔχουσα θεοδόχον, ἡ Παρθένος τὴν μήτραν....



Ζάλην ἔνδοθεν ἔχων....



Χαῖρε, κλῖμαξ ἐπουράνιε, δι' ἧς κατέβη ὁ Θεός....



Χαῖρε, γέφυρα μετάγουσα ἀπὸ γῆς πρὸς οὐρανόν....



Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν....



Οἶκοι Ακαθίστου Ε και Ζ - Δια χειρός Κωνσταντίνους Ντόντου

Σχετικές συνδέσεις

1. Β' Χαιρετισμοί
2. Γ' Χαιρετισμοί
3. Δ' Χαιρετισμοί
4. Ακάθιστος Ύμνος

Παραπομπές

1. ΜΥΡΙΟΒΙΒΛΟΣ